*ὅταν γὰρ εἰς τρυφῶντα καὶ σχολὴν ἄγειν*
*δυνάμενον ἐμβλέψηι, τότ' αὐτόν ἐστ' ἰδεῖν*
*ὡς ἄθλιον ζῆι καὶ ταλαίπωρον βίον.*
*κακῶς ὁ δεσπότης βεβούλευται πάνυ·*
*ἐν ἀγρῶι γὰρ οἰκῶν οὐ σφόδρ' ἐξηλέγχετο*
*τῆς μερίδος ὢν τῆς οὐδαμοῦ τεταγμένης,*
*εἶχεν δὲ παραπέτασμα τὴν ἐρημίαν.*

## *ΤΡΟΦΩΝΙΟΣ*

397 (462 K)

Athenaevs 132 e. *Μένανδρος δ' ἐν Τροφωνίωι·*

⟨*A.*⟩ *ξένου τὸ δεῖπνόν ἐστιν ὑποδοχή τινος.*
⟨*B.*⟩ *ποδαποῦ; διαφέρει τῶι μαγείρωι τοῦτο γάρ.*
*οἷον τὰ νησιωτικὰ ταυτὶ ξενύδρια,*
*ἐν προσφάτοις ἰχθυδίοις τεθραμμένα*
*καὶ παντοδαποῖς, τοῖς ἁλμίοις μὲν οὐ πάνυ*
*ἁλίσκετ' ἀλλ' οὕτως παρέργως ἅπτεται,*
*τὰς δ' ὀνθυλεύσεις καὶ τὰ κεκαρυκευμένα*
*μᾶλλον προσεδέξατ'. Ἀρκαδικὸς τοὐναντίον*
*ἀθάλαττος ὢν τοῖς λοπαδίοις ἁλίσκεται.*
*Ἰωνικὸς πλούταξ; ὑποστάσεις ποῶ,*
*κάνδαυλον, ὑποβινητιῶντα βρώματα.*

## *ΥΠΟΒΟΛΙΜΑΙΟΣ*

416 a (481 K)

Stobaevs, *Eclogae* iv. 53. 6. *Μενάνδρου Ὑποβολιμαίου·*

*τοῦτον εὐτυχέστατον λέγω*
*ὅστις θεωρήσας ἀλύπως, Παρμένων,*



Technische Universität Universitätsbibliothek Dresden